www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον καὶ θαυματουργὸν Σπυρίδωνα

Ἦχος δ'

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἱλαρίωνος Μοναχοῦ*

# Κανὼν εἰς τὸν Ἅγιον καὶ θαυματουργὸν Σπυρίδωνα. Ἦχος δ'.

*Ὠιδὴ Α' Θαλάσσης τὸ ἐρυθραῖον.*

Σοφίας σταγόνα καὶ τοῦ Πνεύματος, θεράπον γνήσιε, τοῦ Βασιλέως πάντων καὶ Θεοῦ, τῷ σῷ δούλῳ ἐπίσταξον, ἀξιοχρέως ὅπως σου, Σπυρίδων μέλψω τὰ θαυμάσια.

Ποιμένων ὡς ὄντως ἀκροθίνιον, καὶ ἐγκαλλώπισμα, τῆς Ἐκκλησίας Πάτερ τοῦ Χριστοῦ, ἀνεδείχθης τοῖς ἔργοις σου, τῶν ἀρετῶν μακάριε, καὶ τῶν θαυμάτων ἐπιλάμψεσι.

Ὑλώδους τῶν γεηρῶν τῆς σχέσεως σαὐτὸν ἐμάκρυνας, καὶ ἐν τῷ νόμῳ Πάτερ νουνεχῶς, τοῦ Θεοῦ ἐγκύπτων ἀεί, Σπυρίδων ἀνελήλυθας, πρὸς ἀπαθείας ὕψος πάνσοφε.

*Θεοτοκίον.*

Ἱλέῳ τῷ σῷ Παρθένε ὄμματι, ἐπὶ τὸν δοῦλόν σου, τὸν προσφυγόντα σοι ὡς ἀγαθή, τὸν ἀχρεῖον ἐπίβλεψον, καὶ τῇ ὁδῷ εὐσπλάγχνως με, τῆς μετανοίας καθοδήγησον.

*Ὠιδὴ Γ' Εὐφραίνεται ἐπὶ σοί.*

Ῥητόρων τὰς συμπλοκάς, τῇ ἀνωτάτῳ ὡς ἱστὸν πάνσοφε, σοφίᾳ παμμακάριστε, ἀραχνοειδεῖς διαλέλυκας.

Ἰάσεών σε πηγήν, Σπυρίδων πᾶσιν ὁ Χριστὸς ἔδειξε, τῶν τῆς ψυχῆς ἅμα τε, νόσων καὶ τοῦ σώματος ἅγιε.

Διάκονον ἀναιδῶς, ὡς παρακούσαντα σιγῇ ἤμειψας, τῶν ψυχικῶν ὅσιε, νόσων ὡς ἀκέστωρ σοφώτατος.

*Θεοτοκίον.*

Λιμώττοντά με δεινῶς, Παρθενομῆτορ τῆς ζωῆς κόρεσον, τοῦ ἄρτου μὴ θανάτου με, νὺξ προκαταλάβῃ τὸν δύστηνον.

*Ὠιδὴ Δ΄ Ἐπαρθέντα σε.*

Ὡς ὡραῖόν σε διάκοσμον Ἱεράρχα, ἡ τῶν πιστῶν κατέχουσα, μάκαρ Ἐκκλησία, Χριστῷ τῷ Θεῷ ἐκτενῶς, κραυγάζει μελώδημα, δόξα τῇ δυνάμει σου Κύριε.

Νοῦν κατέπληξας θεόφρον τῶν θεομάχων, Σπυρίδων τῶν θαυμάτων σου τῇ ἀμάχῳ Πάτερ, δυνάμει καὶ τούτων βουλάς, ἀπράκτους ἀπέδειξας, ὅθεν σε ἀξίως γεραίρομεν.

Ἀπορούντων ἑτοιμότατος παρακλῆτορ τῶν ἐν ἀνάγκαις ὅσιε, Πάτερ ἀνεδείχθης,

Σπυρίδων Χριστοῦ μιμητά, καὶ ἴασις ἄμισθος, τοῖς κεκακωμένοις πανόλβιε.

*Θεοτοκίον.*

Ἀνωδύνως ἡ τεκοῦσα τὸν Θεὸν Λόγον, ἁμαρτιῶν μου Δέσποινα, λῦσον τὰς ὀδύνας, ἄλλην γὰρ ἐλπίδα ἐκτός σου καὶ καταφύγιον, Κόρη ὁ ἀχρεῖος οὐ κέκτημαι.

*Ὠιδὴ Ε' Σὺ Κύριέ μου φῶς.*

Τῷ λόγῳ τὴν νεκράν, προσεφώνησας ἅγιε, Σπυρίδων καὶ ὕειν λόγῳ τῷ ἐνθέῳ σου μάκαρ, νεφέλαις παρεκέλευσας.

Ὁ στήσας ποταμοῦ, τὰς ῥοὰς τῇ προστάξει σου, τὸν ῥοῦν τῶν ἁμαρτιῶν μου, ἀνάστειλον θεοφόρε, καὶ νῦν ταῖς ἱκεσίαις σου.

Νοσούντων ἰατρός, τῶν ἀπόρων βοήθεια, προστάτης τῶν ἐν ἀνάγκαις, συγχώρησις τῶν πταιόντων, ἐδείχθης ἱερώτατε.

*Θεοτοκίον.*

Ῥερύπωμαι Ἁγνή, ἡδοναῖς ταῖς τοῦ σώματος, ὁ τάλας καὶ ἀπεγνώσθην, ἐλπὶς τῶν ἀπεγνωκότων, βοήθειά μοι πάρεσο.

*Ὠιδὴ ΣΤ' Θύσω σοι μετὰ φωνῆς.*

Μέλπειν σου, μετὰ φωνῆς αἰνέσεως ἅγιε, τῶν θαυμασίων τὰ πλήθη, ὀρθοδόξων δῆμοι Σπυρίδων θέμις, καὶ γὰρ ὤφθης, τῆς Ἐκκλησίας ἄσειστον ἔρεισμα.

Ἔνοικον, ἐν σεαυτῷ Χριστὸν τὸν φιλάνθρωπον, ἔχων ταμεῖον χαρίτων, οὐρανίων ὤφθης ψυχῶν τὰς νόσους, καὶ σωμάτων τῷ λόγῳ Πάτερ Σπυρίδων ἰώμενος.

Γέρα σοι, ὁ πλουτοδότης Χριστὸς ἐδωρήσατο, καὶ περιόντι σοι Πάτερ, καὶ μεταθεμένῳ τὴν ἀφθαρσίαν, τοῦ σοῦ σκήνους, τοῦ ἱεροῦ σου μακαριώτατε.

*Θεοτοκίον.*

Ἴαμα Θεοτόκε Παρθένε καὶ λύτρωσις, τυραννουμένῳ γενοῦ μοι, ἐναγοῦς καὶ φαύλης ἐκ συνηθείας, τῶν σῶν ὅπως ἀνυμνῶ μεγαλείων τὴν ἄβυσσον.

*Ὠιδὴ Ζ΄ Ἐν τῇ καμίνῳ.*

Ἄγγελος ὥσπερ, διαβιώσας ὅσιε ἐν τῇ γῇ, μετὰ τῶν Ἀγγέλων ὡς τῷ οὐρανῷ, τὸν Δεσπότην ἱερώτατε, εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου ἔμελπες.

Νόσοις Σπυρίδων, καὶ πειρασμῶν παντοίων ἐπιφοραῖς, περιπεπτωκότες Πάτερ σοὶ ἐκτενῶς, μετὰ πίστεως δεόμεθα, ταῖς ἱκεσίαις ἐπιτυχεῖν, ταῖς θείαις τὴν λύτρωσιν.

Ὑπὲρ τῆς δόξης, ζηλῶν Χριστοῦ τοῦ πάντων Δημιουργοῦ, στόμα ἀπωλείας θεῖε τερατουργέ, τῇ τοῦ Πνεύματος ἐφίμωσας, θαυματουργῶν, ἰσχύει τῇ ἀρρήτῳ θεσπέσιε.

*Θεοτοκίον.*

Ὥσπερ τὴν πόρνην, καὶ τὸν Τελώνην ἅμα καὶ τὸν Ληστήν, Ἁγνὴ καὶ τὸν Ἄσωτον ὁ σὸς Υἱός, φιλανθρώπως πρὶν διέσωσε, οὕτω κἀμέ, σὺ σῶσον καὶ νῦν τὸν πανάσωτον.

*Ὠιδὴ Η΄ Χεῖρας ἐκπετάσας.*

Μέτοχος τῶν θείων δωρεῶν, Πάτερ γεγένησαι, ὡς μιμησάμενος, Δαβὶδ τὸ πρᾶον καὶ ἄπλαστον, καὶ Ἀβραὰμ τὴν πίστην ὅσιε, καὶ τοῦ Ἰὼβ ὑπομονήν, ἀνακραυγάζων ἀεί, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Νόμων τῶν τῆς φύσεως σοφέ, Σπυρίδων ἤμειψας, σπλάγχνοις νυσσόμενος, φιλοπτωχείας καὶ ἔτρεψας, τὸν ὄφιν χρύσεον τῷ λόγῳ σου, καὶ τοῖς πιστοῖς τῷ Παντουργῷ, βοᾶν προέτρεπες, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὅσιος καὶ ἄκακος ἁπλοῦς, καὶ ζέων πίστεως, καὶ χριστομίμητος, εἰς τέλος ὤφθης πανόλβιε, τῶν πραέων γῆν κατέφθασας, καὶ ἐν χοροῖς τῶν ἐκλεκτῶν, μέλπεις γηθόμενος, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

*Θεοτοκίον.*

Νὺξ ἡ τοῦ θανάτου φοβερά, ψυχὴ ἀθλία μου, ἰδού σοι ἤγγικε, ὅθεν τοῦ ὕπνου ἐγέρθητι, τῆς πωρώσεως τάχιον, καὶ τοῦ ἐλέους τῇ Μητρί, δραμοῦσα βόησον, μετανοίᾳ με Κόρη, ὡς τάχος εὐσπλάγχνως ὁδήγησον.

*ᾨδὴ Θ΄ Λίθος ἀχειρότμητος.*

Λάμπουσα ταῖς χάρισι Πάτερ, ἡ θεία μνήμη σου ἐπέστη, πάντων τῶν πιστῶν τὰς καρδίας, φωτοβολοῦσα προτρεπομένη μέλπειν, ὡς θαυμαστὸς ὁ Κύριος, ὁ μεγαλύνων τοὺς ἁγίους σου.

Ὁ ταῖς τῶν Ἀγγέλων χορείαις, συναγελάζων ἐν Ὑψίστοις, τῷ τοῦ Παντοκράτορος θρόνῳ, Σπυρίδων μάκαρ, τοῦτον ἀεὶ δυσώπει, δοῦναι ἡμῖν συγχώρησιν, τῶν ἐπταισμένων τοῖς ὑμνοῦσί σε.

Γῆθεν μεταστὰς θεοφόρε, εἰς τὰ σκηνώματα Κυρίου, τὰ ἀγαπητὰ τῶν ἁγίων, ἔφθασας Πάτερ Σπυρίδων καὶ τῷ πάντων, Δημιουργῷ μακάριε, συνὼν ἡμῶν ἀεὶ μνημόνευε.

Ὢ τῆς ὑπὲρ νοῦν τε καὶ Λόγον, θεοφανείας τῶν ἁγίων, ἧσπερ περιόντες ἐκ μέρους, καὶ μετὰ πότμον τυχόντες ἀνυμνοῦσι, Πατέρα Λόγον Ἅγιον, Πνεῦμα Μονάδα τὴν Τρισήλιον.

## *Θεοτοκίον.*

Μνήσθητι Παρθένε τῶν δούλων, τῶν σῶν τῶν τῷδε ἐνοικούντων, Ὄρει ἐν τῷ σῷ τῷ Ἁγίῳ, τούτους ἀφρόνων τῆς ζάλης ἐνσκηψάσης, τῶν καινοτόμων Δέσποινα, καὶ τῷ ἐλέει σου ἐκλύτρωσαι.

## *Προσόμοια.*

*Ὡς γενναῖον ἐν μάρτυσι.*

Ταῖς ἐξ ἔργων λαμπρότησι, τῶν πιστῶν τὰ συστήματα, καταυγάζων Ὅσιε ἀναδέδειξας, ποιμὴν Σπυρίδων πανάριστος, προσφέρων τῷ Κτίστῃ σου, ὡς θυσίαν ἱεράν, λογικὴν πανευπρόσδεκτον, καὶ πανεύοσμον, τῷ Χριστῷ τὰς ψυχὰς διό σε πλήθει, θαυμασίων Ἱεράρχα, χάριν πλουσίως ἠξίωσε.

Τοῦ Ἀρείου διήλεγξας, θεομάχον ἀπόνοιαν, καὶ τῶν θαυμασίων σου κατεβρόντησας, δυνάμει τοῦτον καὶ ἔλαμψας, Σπυρίδων ἐν δόγμασι, ὀρθοδόξοις τὸν Υἱόν, τῷ Πατρὶ ὁμοούσιον ἐδογμάτισας, ὅθεν ὕμνοις πιστῶν ἡ Ἐκκλησία, καὶ ᾠδαῖς καταγεραίρει, μνήμην τὴν σὴν τὴν σεβάσμιον.

Τὸν σὸν δρόμον τετέλεκας, καὶ τὴν πίστιν τετήρηκας, σοὶ διὸ ἀπόκειται Πάτερ στέφανος, δικαιοσύνης μακάριε, παρὰ τοῦ Παντάνακτος, ὃν δυσώπει ἐκτενῶς, διασώζεσθαι ἄτρωτον, τὴν ὀρθόδοξον, Ἐκκλησίαν αὐτοῦ ἐφ’ ἧπερ

ζάλη, τῶν μωρῶν καινορρημόνων, ἐκ γῆς δυσμῶν ταύτῃ φθάσασα.

Τῇ ἀφάτῳ σου Δέσποινα, εὐσπλαγχνίᾳ προστρέχοντα, δέξαι με τὸν δοῦλόν σου, καὶ τὰς πύλας μοι τῆς μεταγνώσεως ἄνοιξον, καὶ μὴ παραβλέψῃς με, τὸν ταλαίπωρον σεμνή, ἀπολλέσθαι ἀλλ᾽ οἴκτειρον, σὺ γὰρ ἔτεκες, τὸν Σωτῆρα τοῦ κόσμου παναφθόρως, καὶ Παρθένος θεομῆτορ, μετὰ τὸν τόκον διέμεινας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ